# Ἀντιαιρετικὸς Παρακλητικὸς Κανὼν

εἰς τὴν

# Ὑπεραγίαν Θεοτόκον

(διὰ τὴν ἀποφυγὴν καὶ ἐξάλειψιν πασῶν τῶν καινοφανῶν αἱρέσεων καὶ ἐξαιρέτως τῆς παναιρέσεως τοῦ Οἰκουμενισμοῦ)





**ποίημα**

**Εὐφροσύνου ἱερομονάχου Σαββαΐτου**

Σειρά: *«Ὑμνογραφικὰ Ἄνθη»* **21**

# Ἀντιαιρετικὸς Παρακλητικὸς Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον

© Ἱερομόναχος Εὐφρόσυνος

Email: gethsimani79@gmail.com
Τηλ. ἐπικοινωνίας: 6979 6278 56

Πρώτη ἔκδοση: 2020

Εἰκὼν ἐξωφύλλου:
«Ἡ Ἁγία Ὀρθόδοξος Ἐκκλησία
καὶ οἱ Αἱρέσεις».
Ἀντίγραφο ἀπὸ νωπογραφία «fresco» τοῦ 1817.
Ἱερὰ Μονὴ Ζωγράφου, Ἅγιον Ὄρος.
Ἱερά Μονή Φλαμουρίου, Σουρβιᾶς

ISBN 978-618-84086-8-5

ΕΚΤΥΠΩΣΙΣ:
**ΕΠΤΑΛΟΦΟΣ** ΑΒΕΕ, ΑΡΔΗΤΤΟΥ 12-16,
116 36 ΑΘΗΝΑ
ΤΗΛ.: 210.921.7513, 210.921.4820, FAX: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

# Ἀντιαιρετικὸς Παρακλητικὸς Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον

(διὰ τὴν ἀποφυγὴν καὶ ἐξάλειψιν πασῶν τῶν καινοφανῶν αἱρέσεων καὶ ἐξαιρέτως τῆς παναιρέσεως τοῦ Οἰκουμενισμοῦ)

Τὸ Κύριε εἰσάκουσον, Τὸ Θεὸς Κύριος τετράκις μεθ᾽ ὃ τὰ Τροπάρια.

Ἦχος δ´. Ὁ ὑψωθείς.

Τὴν ἀῤῥαγῆ Ὀρθοδοξίας κρηπῖδα, καὶ σωτηρίας τῶν ψυχῶν

τὴν ἐλπίδα, τὴν Θεοτόκον πάντες προσκυνοῦντες εὐσεβῶς, πόθῳ αἰτησώμεθα, τοῦ δωρήσασθαι χάριν, πᾶσαν ἀντιμάχεσθαι, τῶν αἱρέσεων πλάνην, τὴν ἐκ τῶν ἔσω φθείρουσαν Χριστοῦ, τῆς Ἐκκλησίας, τὸ σῶμα τὸ ἅγιον.

Δόξα. Ὅμοιον.

Τὴν ἐν προσχήματι τῆς θείας ἀγάπης, μεῖξιν ὀθνείαν ἀληθείας καὶ πλάνης, τῆς εἰδεχθοῦς αἱρέσεως τοῦ Οἰκουμενισμοῦ, Δέσποινα διάλυσον, βλασφημοῦσαν ἀφρόνως, ἅπαντα τὰ δόγματα, τῶν Ἁγίων Πατέρων, καὶ τὰ δαιμόνια τῶν θρησκειῶν, ὡς σωτηρίας ὁδοὺς καταγγέλουσαν.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ ἀκροστιχίς· «Λάμψον Δέσποινα τὸ φῶς τῆς Ὀρθοδοξίας».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄
Ἁρματηλάτην Φαραώ.

Λυσσομανῆ τὴν καταιγίδα κόπασον, αἱρετικῶν ἀσεβῶν, τῶν

δολερῶς πᾶσαν, τὴν Χριστοῦ ἀλήθειαν, ἐν ὑποκρίσει Δέσποινα, σκοτιζόντων ἀφρόνως, καὶ συγχεόντων τὰ ὅσια, πᾶσι τοῖς ἀθέοις βδελύγμασιν.

Ἀπὸ τῆς λύμης τῶν Λατίνων λύτρωσαι, τὴν Ἐκκλησίαν Χριστοῦ, τῶν ἐν πολλαῖς πλάναις, βλασφημούντων Ἄχραντε, τὸ ἱερόν σου πρόσωπον, καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ τὴν παροῦσαν ματαίωσον, μετ᾽ αὐτῶν γενέσθαι ψευδένωσιν.

Μὴ δεχομένων τὴν τιμήν σου Ἄσπιλε, Προτεσταντῶν τὴν ἀχλύν, τῶν ἐν πολλοῖς κλάδοις, ἀρνουμένων ἅπαντα, τὰ Ἱερὰ Μυστήρια, καὶ τὰς θείας Εἰκόνας,

τῷ σῷ φωτὶ ἐξαφάνισον, τὴν Ὀρθοδοξίαν λαμπρύνουσα.

Ψευδολογοῦντας Ἱεράρχας ἅπαντας, τοὺς ἐπ᾽ ἐσχάτων Ἁγνή, τοὺς ἀρχηγοὺς πάντων, τῶν ἐχθρῶν τῆς Πίστεως, συνοδικῶς δεικνύοντας, ὡς ἐργάτας Κυρίου, τοῦ ἀμπελῶνος κατάργησον, καὶ ὡς ἀνομοῦντας ἐξάλειψον.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ὀχετὸν συνεδρίων, τῶν θρησκειῶν Δέσποινα, τῶν συγκρητισμῷ ἑπομένων, καὶ μίαν ἔχοντα, κακίστην θέλησιν, τὴν πανθρησκείαν κομίσαι, ὡς τοῦ Ἀντιχρίστου προδρόμους διάλυσον.

Νῦν ἐσχάτη ἡ ὥρα, τὸ τοῦ Χριστοῦ ποίμνιον, φύλαξον Παρθένε ἐν τάχει, καὶ ἀποδίωξον, τῆς παναιρέσεως, τοὺς προεστῶτας καὶ φίλους, ὡς ψευδοποιμένας προβάτων παράφρονας.

Δυσσεβείας τὰ ἔργα, τῶν τῆς Στοᾶς σύντριψον, τοῦ Τεκτονισμοῦ καὶ τῶν κύκλῳ, τούτου συνάξεων, ἅπερ τεκταίνονται, καὶ ἐκ προσώπων αἰσχύνης, τῆς Ἱεραρχίας τοῦ κλήρου Πανάμωμε.

Ἐλευθέρωσον Κόρη, ἐξ Οὐνιτῶν ἅπαντας, καὶ Νεορθοδόξων ἀνόμων, τοὺς σοὺς θεράποντας, τοὺς μὴ ἐθέλοντας, σχισματικοῖς κοινωνῆσαι, καὶ τοῖς αἱρετίζουσι κῦρος δωρήσασθαι.

Διάσωσον, ἀπὸ κινδύνων αἱρέσεων τοὺς σοὺς δούλους, τῶν ἐκ μέσου τῆς Ἐκκλησίας φυέντων Πανάχραντε, συντρίβουσα, τὰς αὐτῶν μεθοδείας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.

Δογμάτων Χριστοῦ, ὑπάρχουσα κεφάλαιον, ὡς Μήτηρ Θεοῦ, κατεύνασον τὸν τάραχον, τῶν σχισμάτων Δέσποινα, ἀποπλύνουσα πλάνης τὸν βόρβορον, καὶ τὰς αἱρέσεις κατάστρεψον

ταχύ, τὴν πίστιν τρανοῦσα τὴν Ὀρθόδοξον.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Στῶμεν καλῶς, καὶ ὀρθοδόξως λατρεύσωμεν, τὸν Σωτῆρα, Ἰησοῦν καὶ Κύριον, τὸν σαρκωθέντα ὑπὲρ ἡμῶν, ἐκ τῆς σῆς νηδύος, Θεοκυῆτορ Πανάμωμε, τηροῦντες αὐτοῦ πάντα, τὰ ἐντάλματα φόβῳ, καὶ τῶν θείων Πατέρων τὰ δόγματα.

Πεντηκοστῆς, τοὺς καπηλεύοντας Δέσποινα, Παρακλήτου, πάντα τὰ χαρίσματα, ὡς θεομάχους θεοστυγεῖς, καὶ τὰ ἐξ Ἰνδίας, νεοφανέντα συστήματα, τὰ δῆθεν ἐξασκοῦντα, τὴν ψυχὴν

καὶ τὸ σῶμα, ὥσπερ κέντρα δαιμόνων κατάλυσον.

Ὁλοτελῶς, τὴν πονηρίαν φανέρωσον, διαβόλου, τοῖς πιστοῖς Θεόνυμφε, ἐνεργουμένην δι᾽ ἐκλεκτῶν, τῶν Ἀρχιερέων, θεολογίσκων ποιμένων τε, λεγόντων τοῖς ἀνθρώποις, σιωπᾶν ἐπὶ πᾶσι, καὶ τηρεῖν τὰ τοῦ κόσμου ἀντίθεα.

Ἰχνηλατεῖν, τὰ τῶν Ἁγίων παλαίσματα, καὶ μιμεῖσθαι, τούτων τὴν ὀρθόδοξον, καὶ πολιτείαν καὶ διδαχήν, δίδου Θεοτόκε, τοῖς ἐπ᾽ ἐσχάτων ἱκέταις σου, ἀφίστασθαι δὲ πάντων, τῶν ἀγνοίᾳ ἢ γνώσει, ἀθετούντων Χριστοῦ τὴν ἀλήθειαν.

## Ὠδὴ ε΄. Ἵνατί με ἀπώσω.

Νέαν αἵρεσιν παῦσον, τὴν τοῦ μολυσμοῦ ἐν τῷ Ναῷ Ἀμόλυντε, τὴν ἐξ ἀπιστίας, ἀλλοιοῦσαν τὰ θεῖα Μυστήρια, καὶ ὡς ἰατρεῖον, πνευματικὸν τὴν Ἐκκλησίαν, καταργοῦσαν ψυχῆς τε καὶ σώματος.

Ἀπομάκρυνον Κόρη, Ἰεχωβιτῶν τὴν δολερὰν ἐπέλασιν, Μονοφυσιτῶν τε, τὴν φρικτὴν μεθ᾽ ἡμῶν ἐπανένωσιν, τὴν ἐπὶ τὸ ψεῦδος, στερεωθεῖσαν καὶ χιτῶνα, τῆς Χριστοῦ ἀληθείας ἐκτέμνουσαν.

Τὴν δυσώνυμον λέσχην, Οἰκουμενιστῶν ἀπὸ τῆς γῆς ἀφάρ-

πασον, τῶν καταπατούντων, Θεομῆτορ τὰ πάνσεπτα δόγματα, καὶ ἀλλοτριούντων, τῆς σωτηρίας τοὺς ποιμένας, καὶ αὐτῶν τὸ φιλόχριστον ποίμνιον.

Ὁλικῶς Παναγία, τὴν ἐφηπλωμένην παναίρεσιν ἔκκοψον, ἐν τῇ Ἐκκλησίᾳ, τοὺς ὀλίγους δεινῶς ἐκδιώκουσαν, τοὺς τειχιζομένους, ἐκ τῶν τῆς πλάνης ἡγουμένων, τῇ ἐννόμῳ Κανόνων ὀρθότητι.

Ὠδὴ στ´. Τὴν δέησιν.

Φαιδρύνουσα, Θεοτόκε φάνηθι, τοὺς πιστῶς ὁμολογοῦντάς σε μόνην, ὡς ἀληθῶς τοῦ Κυρίου Μητέρα, καὶ ἀκραιφνοῦς

μετὰ τόλμης ἐλέγχοντας, τοὺς ἀρνουμένους τὸν Χριστόν, ἐν προφάσει ψευδοῦς ἀγαπήσεως.

Ὠρύονται, οἱ ψευδεῖς ἐπίσκοποι, καὶ αὐτῶν οἱ ἱερεῖς τῆς αἰσχύνης, ὑπακοὴν ἀπαιτοῦντες κακίστην, καὶ τὸν λαὸν ἀδεῶς ἐκφοβίζοντες, οἷσπερ ταχέως Ἀγαθή, τὴν ὀργὴν κατ᾽ ἀξίαν ἀπόστειλον.

Συμπόδισον, Θεοτόκε Ἄχραντε, τὴν φρικώδη ἐν ναοῖς βλασφημίαν, Πατριαρχῶν τῶν θελόντων ἀρέσαι, τοῖς ἀλλοθρήσκοις τοῦ μίσους λεγόντων τε, τὸ Εὐαγγέλιον Χριστοῦ, κορανίῳ ὡς δεῖ συναρμόττεσθαι.

Τὴν αἵρεσιν, Θεοτόκε κάθελε, τῶν μεταπατερικῶν θεολόγων, ἀντιβαινόντων τοῖς θείοις Πατρᾶσι, φιλοσοφίας ἐπάρσει καὶ ὅρια, μετακινούντων τὰ σεπτά, ἐν τῇ πίστει ἡμῶν καὶ αἰώνια.

Διάσωσον, ἀπὸ κινδύνων αἱρέσεων τοὺς σοὺς δούλους, τῶν ἐκ μέσου τῆς Ἐκκλησίας φυέντων Πανάχραντε, συντρίβουσα, τὰς αὐτῶν μεθοδείας. .

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

## Αἴτησις καὶ τὸ Κοντάκιον.
## Ἦχος β΄. Προστασία.

Καθαιρέτις τῶν αἱρετικῶν ἀπροσμάχητε, καὶ ἡγέτις τῶν ἀγωνιστῶν ἀκατάβλητε, μὴ ἐάσῃς, τὴν Ἐκκλησίαν Μῆτερ τοῦ Θεοῦ, δεινῶς, φθίνουσαν ἁπανταχοῦ, ἀπὸ τῶν ἔνδοθεν αὐτῆς, ἀδικούντων τὸ ποίμνιον· φύλαξον τὸν ναόν σου, καὶ στήριξον τὸν λαόν σου, ἄχρι θανάτου Ἀγαθή, ὀρθοδόξως πορεύεσθαι.

## Καὶ εὐθὺς τὸ Προκείμενον.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (Δίς).

Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ

οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ μνησθήσομαι.

## ΕΥΑΓΓΕΛΙΟΝ
## (Λουκᾶ, κεφ. ι´ 38-42, ια´ 27-28)

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθήσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀ-

δελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Μάρθα Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ μαστοί, οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· μενοῦνγε. Μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ φυλάσσοντες αὐτόν.

**Δόξα σοι Κύριε, δόξα σοι.**

**Δόξα.** Τὰς τῆς ἀπωλείας αἱρέσεις Παναγία, ἐξάλειψον δυνάμει, τοῦ Υἱοῦ σου τῇ θείᾳ.

**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός...

Καὶ τὸ ἑξῆς Προσόμοιον.

Ἦχος πλ. β´. Ὅλην ἀποθέμενοι.

Τεῖχος καὶ προπύργιον, τῶν θεοφόρων Πατέρων, Δέσποινα ὑπάρχουσα, καὶ τὴν Ἐκκλησίαν διαφυλάττουσα, τοὺς κακοὺς ἔξωσον, μισθωτοὺς ποιμένας, ὥσπερ λύκους ἐν ἐνδύμασι, προβάτων φθείροντας, ἅπαν Ὀρθοδόξων τὸ πλήρωμα, ὁμοῦ δε καταλύοντας,

ἱερατικὸν τὸ ἀξίωμα, ἀγαπολογίᾳ, ψευδεῖ καὶ ἀπαρνήσει τοῦ Χριστοῦ, μοναδικοῦ ὡς Σωτῆρος τε, καὶ Κριτοῦ τοῦ μέλλοντος.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεός...

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ἡ καθ᾽ αἱρέσεων ῥομφαία, στρεφομένη τε κατὰ τῶν ἑκατέραν, οὐσιῶν τοῦ Χριστοῦ, μὴ δεχομένων ὕβρει, Θεογεννῆτορ σύντριψον, τοὺς καπήλους ἐν τῇ πίστει.

Σκέδασον Κόρη τὴν μανίαν, τῶν αἱρέσεων καὶ τὴν Ὀρθοδοξίαν, νικηφόρον ταχύ, ἀνάδειξον βοῶσαν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὅλην τὴν πλάνην τῶν αἰώνων, ἐφανέρωσεν εἰς μίαν Χριστοκτόνον, ἐπ᾽ ἐσχάτων φρικτήν, παναίρεσιν ὁ πλάνος, ἀλλὰ Παρθένε πάταξον, τὸ αὐτοῦ εὔθραυστον κράνος.

Ῥώμῃ Χριστοῦ τοῦ σαρκωθέντος, ἐκ λαγόνων σου ἀφάνισον ταχέως, τοὺς τολμῶντας Ἁγνή, θρησκείας συνενῶσαι, καὶ μόνην τὴν ἀλήθειαν, τὴν ὀρθόδοξον στρεβλῶσαι.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει.

Θεολόγους τιμώρησον ἀλόγους, προδιδόντας Χριστόν, κατὰ τοὺς διαλόγους, τῆς Ἐκκλησίας τούτους ἀπελαύνουσα, Κόρη

ὡς ἐργάτας, καὶ ὡς ἐκπροσώπους, τοῦ ἄρχοντος τοῦ σκότους.

Ὀργανώσεις τῶν πονηρῶν ἀνθρώπων, καὶ διώκτας κρυπτούς, κατὰ τῶν Ὀρθοδόξων, Σιωνιστάς, Μασόνους, γοητεύοντας, ὡς κατεφθαρμένους, Δέσποινα τελείως, ἀφόπλισον ῥαδίως.

Διὰ φθόνον Χριστοῦ τῆς Ἐκκλησίας, συνενοῦνται λαοί, κατὰ τῆς εὐσεβείας, ἀλλὰ Παρθένε τήρησον τοὺς δούλους σου, ἐκ τοῦ Ἀντιχρίστου, τῆς πλαστογραφίας, ἡμῶν τῆς σωτηρίας.

Ὀδωδυῖα Πανάμωμε ὑπάρχει, ἡ δειλία πολλῶν, ποιμένων καὶ ἡ πλάνη, τοῦ σιωπᾶν καὶ μόνον τοῦ προσεύχεσθαι, τῆς Ὀρ-

θοδοξίας, ἐν τῇ οἰκουμένῃ, δεινῶς κινδυνευούσης.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ξενήκουστος ὑπάρχει καὶ φοβερά, ἡ ἐσχάτη παναίρεσις Ἄχραντε, καὶ βδελυρά, προοδοποιοῦσα τὴν μιαράν, τοῦ Ἀντιχρίστου ἔλευσιν, καὶ ἀποσοβοῦσα τοὺς ἱερούς, Πατέρας καὶ Κανόνας, ἐξ ἧς Παρθένε ῥῦσαι, τοὺς καταφεύγοντας τῇ σκέπῃ σου.

Ἰσχύϊ τῇ ἀμάχῳ σου Ἀγαθή, θεομάχους καταίσχυνον ἅπαντας, ὡς ἀσεβεῖς, τοὺς Βαρλααμίτας νεοφανεῖς, πορευομένους πάντοτε, τῇ φιλοσοφίᾳ τῆς λογικῆς, καὶ ὅλως ἀρνουμένους, τὴν

σῴζουσαν τὸν κόσμον, τῆς Θείας Χάριτος ἐνέργειαν.

Ἀλλότρια τῆς πίστεως τῆς ὀρθῆς, ἱερέων ὁ γάμος ὁ δεύτερος, καὶ οἱ μεικτοί, ἡ δὲ ἐν τῷ γάμῳ διαστροφή, τῶν παρὰ φύσιν σχέσεων, καὶ ἡ τῆς νηστείας περικοπή, ὑπάρχει Θεοτόκε, καὶ ἡ δοκιμασθεῖσα, ἐν τῇ λατρείᾳ ἀνανέωσις.

Σωφρόνισον Παρθένε τοὺς «εὐσεβεῖς», εὐλαβῶς βεβλαμμένους ποιμένας τε καὶ ἱερεῖς, τοῦ ἀντισταθῆναι τοῖς πονηροῖς, Ἀρχιερέων ῥήμασι, καὶ τοῖς τῶν ἀρχόντων νόμοις καινοῖς, παρακελευομένοις, ἀχρείαν προσωπίδα, ἐν τῷ ναῷ μεταχειρίζεσθαι.

## Τὸ Ἄξιόν ἐστι καὶ τὰ Μεγαλυνάρια.

Πᾶσαν τῶν αἱρέσεων τὴν πληθύν, Οἰκουμενισμοῦ τε, τὴν παναίρεσιν τὴν φρικτήν, συναποστραφῶμεν, ὡς δρόμους ἀπωλείας, εὐχαῖς καὶ βοηθείᾳ, τῆς Θεομήτορος.

Τοὺς τῶν ἀστηρίκτων σαγηνευτάς, πάντων τε Ἁγίων, καὶ ἀγάπης καπηλευτάς, συμπροσευχομένους, μετὰ τῶν ἀλλοπίστων, δυνάμει τῆς Πανάγνου, ἐπιτιμήσωμεν.

Θεία τοῦ Σωτῆρος οὖσα λαβίς, ἀπόκοψον Κόρη, ἱερέων τοὺς ἀσεβεῖς, τοὺς ἄνευ λαβίδος, ἁγίας ἀλλοιοῦντας, τὴν Θείαν Κοινωνίαν, καὶ τὴν Παράδοσιν.

Τοὺς τὸ προσωπεῖον τῆς ἀρετῆς, φέροντας ἀφρόνως, ὀρθοδόξους Ἀρχιερεῖς, καὶ τὰς προσωπίδας, προτρέποντας φορέσαι, ἡμᾶς ἐν τῷ ναῷ σου, Δέσποινα φίμωσον.

Μόνου ὥσπερ Μήτηρ τοῦ Λυτρωτοῦ, ἀπάλλαξον πάντας, ἐκ τῆς πλάνης τοῦ πονηροῦ, τῆς ἐπικροτούσης, παντοίας τὰς αἱρέσεις, ὡς τρίβους σωτηρίας, ὢ τῆς συγχύσεως!

Χαίροις Ὀρθοδόξων καταφυγή, καὶ τῶν κακοδόξων, ἡ τελεία καταστροφή, χαίροις δυσσεβούντων, Παρθένε καταπέλτης, καὶ τῶν πεπλανημένων, ἡ ἐπανόρθωσις.

Φύλαξον τὸ ποίμνιον τὸ μικρόν, Δέσποινα ἐκ βλάβης, τῶν πολλῶν Οἰκουμενιστῶν, καὶ τὴν Ἐκκλησίαν, ζῶσαν καὶ ἐλευθέραν, συντήρει ἐν ἐρήμῳ, τίκτουσαν μάρτυρας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον. Ἐκτενὴς καὶ ἀπόλυσις, μεθ᾽ ἣν ψάλλομεν τὸ ἀκόλουθον Τροπάριον.

Ἦχος β΄. Πάντων προστατεύεις.

Πάντας, τοὺς τῆς πίστεως ἐχθρούς, Οἰκουμενιστὰς καὶ Μασόνους, τοὺς ἐκ τῶν ἔσω Ἁγνή,

ὅλην διαφθείροντας τὴν Ἐκκλησίαν Χριστοῦ, ἀποδίωξον τάχιστα, ὡς μόνη Κυρία, μόνη Ἀειπάρθενος, Μήτηρ τοῦ μόνου Θεοῦ, ἵνα, ἐν τῷ θείῳ Ναῷ σου, ὥσπερ στρατηγῷ ὑπερμάχῳ, πάλιν ὀρθοδόξως σοι προσπέσωμεν.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι᾽ εὐχῶν τῶν Ἁγίων...

Δίστιχον·

*Τοὺς ἐπισκόπους αἱρετίζοντας αἶρε,*
*ἀπὸ τῆς ποίμνης τοῦ Κυρίου Παρθένε.*

